Universitätsbibliothek Paderborn

# Hierakosophion

Demetrius <Pepagomenus>

Lvtetiae, 1612

Kynosophion.

urn:nbn:de:hbz:466:1-12846

Visual Library

# ΚΥΝΟϹΟΦΙΟΝ.

HVNC de canum venaticorum cura libellum iam olim Vitebergæ ante LXVII annos Andreas Aurifaber Vratislauiensis medicus edidit, & Rudberti cuiusdam Moshaimi versionem secutus latinum fecit: quin & nomen indidit Phaemoni, ac variantium lectionum ex Augustano codice notas aliquot adiecit. nos autem Phaemonis nomen, vt ignotum, & nullius codicis auctoritate fultum, expunximus: notas vero, vt superfluas; præsertim quum duo codices, quos nobis regia bibliotheca suppeditauit, mire cum Augustano consentiant; imo alicubi etiam sint auctiores & emendatiores, insuperhabuimus. cæterum si quid de auctore statuendum sit; omnino is esse videtur qui de re accipitraria scripsit: siue fuerit Demetrius, siue quis alius, æqualis geoponicorum atque etiam hippiatricorum scriptoribus. hoc enim vtriusque operis præfatio indicat, & stilus arguit. Aurifabri versionem edi curauimus, multo feliciorem accuratioremque ea quam Gillius quidam, doctissimis illius Petri Gillij nepos hieracosophiorum versioni adtexuit.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# ΠΕΡΙ ΚΥΝΩΝ ΕΠΙΜΕΛΕΙΑΣ.

ΟΥΚ ἔλαττον συντελεῖ καὶ κύων πρὸς ὑπηρεσίαν τῷ ἡμετέρῳ γένει. τῇ μὲν πρὸς φυλακὴν, τῇ δὲ καὶ πρὸς θήραν, ἢ καὶ ἀμφότερα· τοσοῦτον εὔνους ὢν τῷ αὐτοῦ δεσπότῃ, ὡς πολλάκις ὑπὲρ αὐτοῦ ἑτοίμως ἔχειν μέχρι θανάτου διαγωνίζεσθαι, καὶ κινδυνεύοντι ἐπαμύνασθαι. δηλοῖ δὲ καὶ ἀπ' αὐτοῦ τοῦ ὀνόματος, ὁπόσα φιλεῖν οἶδε τὸν εὐεργέτην· τοῦ τοιούτου οὖν πῶς ἡμεῖς ἀμελήσομεν; καὶ οὐ τῆς ἰατρείας αὐτῶν φροντίσομεν; ἐπεὶ καὶ ἄνευ τούτων ἡ χρεία τῶν ἱεράκων ἀνόνητος· μετὰ οὖν αὐτὸν, καὶ τούτων ἀποχρῶντας ἐπιμελησώμεθα, εἰπόντες πρῶτον, περὶ τῆς τούτων γενέσεως καὶ δοκιμασίας.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

## Ἐν ποίῳ καιρῷ δεῖ τοὺς κύνας ὀχεύεσθαι.

Ἰανουάριον ἢ Φεβρουάριον μῆνα χρὴ τρέφειν τοὺς κύνας μετὰ φυλακῆς, καὶ ἀναπαύειν, ἵνα ἐπιζητήσωσιν ὀχευθῆναι· παρὰ κυνῶν δὲ δοκίμων ὡς ἂν ἀεὶ τὸ γένος δι' ἀγαθῶν κυνῶν ἐπιμένῃ. τὸν δὲ ὀχεύοντα, δεῖ εἶναι τριετῆ, καὶ μὴ ἔλαττον, καὶ ἡ θήλεια διετὴς, καὶ μὴ ἔλαττον· ἐπὰν δὲ ἄρξηται ἐπιζητεῖν, ἔα αὐτὴν ζητῆσαι ἡμέρας ι', καὶ τὸ τηνικαῦτα ὀχευέσθω, καὶ καθέξει εὐθέως τὸ σπέρμα. ὅταν δὲ μέλλῃ ὀχεύεσθαι, ἀποκλειέσθω ἐν οἰκίσκῳ μετὰ τοῦ ἄῤῥενος, καὶ μὴ συγχωρείσθω τὸ σύνολον τινὶ κατοπτεύειν αὐτούς· ἐὰν γὰρ κατοπτεύωνται, ἄχρηστοι μέν τοι πρὸς θήραν γενήσονται· τοῦτο γὰρ ἐκ πείρας πολλῆς οἱ θηραταὶ καταμαθόντες παραδεδώκασι· μετὰ δὲ τὴν σύλληψιν, ἡ συλλαβοῦσα κύων ἐπὶ θήραν μὴ ἐξιέτω· ἵνα μὴ τῇ ἐπιθυμίᾳ τοῦ δρόμου φθείρῃ τὰ κυνάρια, ἢ καὶ αὐτὴ κοπιάσασα διαφθαρῇ· ἴσθι δὲ, διμηναῖον χρόνον βαστάζειν αὐτὴν, καὶ ὅσους ἄῤῥενας ἔχῃ, τοσαύτας καὶ θηλείας τῶν δύο μηνῶν. τὸν μέν τοι ἄῤῥενα χρὴ ἀνακτᾶσθαι διαίτῃ

ἁβροτέρα καὶ λιπαρᾶ, μέχρι λ' ἡμερῶν· εἶθ' οὕτως χρείας καλούσης, ἐξάγειν ἐπὶ τὴν θήραν.

## Περὶ δοκιμασίας καὶ προγνώσεως.

ΕΙ ἐπιθυμῇς καλοὺς κύνας κτᾶσθαι, οὕτως αὐτοὺς δοκίμαζε· στεφανοειδῆ κύκλον ποιήσας ἀπὸ χόρτου, ὅσον περιφράττειν τροχοῦ ἁμάξης, θὲς τὰ σκυλάκια μέσον τοῦ κύκλου. τὴν δὲ κύνα ἔχε ἰδίᾳ· ὕφαπτε δὲ τὸν χόρτον κύκλῳ, καὶ ἡνίκα ἴδῃς τὸν χόρτον ὑφαπτόμενον, ἀπόλυε τὴν κύνα, καὶ ἴδῃς ὅτι εἰσέρχεται ἀνὰ μέσον τοῦ πυρὸς, μὴ φοβουμένη, ἀλλὰ φίλτρῳ κατεχομένη τῶν ἰδίων τέκνων· ἐπιλέγεται δὲ φυσικῷ τινι πόθῳ καὶ διακρίσει τὰ βελτίονα, καὶ ἐξάγει· τὰ μέν τοι ὑπόλοιπα εἰ βούλῃ ἀπεμπολήσασθαι ἢ χαρίσασθαι, ὑπόθες αὐτὰ, ἑτέρᾳ κυνὶ ἐχούσῃ ἄλλα ἴδια, ἵνα αὐτὰ θρέψῃ. ὑπόβαλε δὲ αὐτῇ ταῦτα τρόπῳ τοιῷδε· ἀπόθλιψον ἐξ αὐτῆς ὀλίγον γάλα, καὶ βάλε ἐν τῇ χειρὶ, καὶ ἀναπτύξας, ἀνάμιξον μετὰ τοῦ γάλακτος, καὶ περιχείσας τὸν νῶτον τῶν σκυλακίων, ὑπόθες αὐτὰ τῇ τροφῷ, καὶ γνώσῃ, ὅτι ἡδέως

αὐτὰ δέχεται. ἔνι καὶ ἄλλη δοκιμασία τοῦ βελτίονος σκύλακος· ἐν ζυγῷ σταθμίσας τὰ κυνάρια, ἐπίλεξαι τὸ βαρύτερον· ἃ δὲ βούλει ἔχειν, ὑπὸ τῆς μητρὸς αὐτῶν ἀνατρεφέσθωσαν, καὶ μὴ ὑφ' ἑτέρας. τὸ γὰρ τῆς μητρὸς γάλα πάνυ ὠφέλιμόν ἐστιν.

## Περὶ ἐπιλογῆς κυνῶν.

ΤΩΝ κυνῶν τῶν ἰχνευμένων ἔστωσαν οἱ ἐπιλεγόμενοι παραπλήσιοι λέουσι, πάρδοις, λύκοις· τὰ ὦτα ἐχέτωσαν μεγάλα, καὶ μαλθακά, ἵνα ἐκ τοῦ μεγέθους, καὶ τῆς μαλθακότητος ἐπιρρεπῆ ὦσι· καὶ ἐὰν ὦσιν ὀρθά, οὐ μικρὰ δέ, οὐ πάνυ ἀδόκιμον· τὰ γὰρ μικρὰ καὶ σκληρά, ἀδόκιμον· ὁ τράχηλος αὐτῶν μακρός· τὰ στήθη καὶ οἱ ὦμοι, πλατεῖς, καὶ μὴ συμπεπιλημένοι, ἀλλὰ λελυμένοι ἀπ' ἀλλήλων· αἱ οὐραὶ μακραὶ καὶ λεπταί· τὰ σκέλη μείζονα τῶν ἐμπροσθίων τὰ ὀπίσθια· τρέχει γὰρ εἰς τὰ ἄναντη χωρία. εἰ δὲ ἴσοι εἰσὶν οἱ ἐμπρόσθιοι τοῖς ὄπισθεν, εἰς πεδιάδας δραμεῖται καλῶς· καὶ εἰ λεῖα ταῦτα, καλόν· καὶ εἰ τῷ μεγέθει τοῦ σώματος ἡ θήλη προσήκελαι ἄρρενι.

Ἐν ποίῳ χρόνῳ ἐξιέναι ἐπὶ θήρας.

ΧΡΗ τὸν κύνα ἐπὶ τὸ κυνήγιον συνεχῶς ἐξέρχεσθαι· εἰ γὰρ ἐπιμένοιε χρόνον τινὰ, νωθεῖς γίνονται.

Ὅτι δεῖ ἐθίζειν τοὺς κύνας ἀνθρώποις συγκοιτάζεσθαι.

ΚΥνας μετὰ ἀνθρώπων κοιμᾶσθαι καλόν. πραεῖς γὰρ ἐκ τούτου γίνονται, καὶ φιλάνθρωποι, καὶ εὐκόλως καλοῦνται.

Εἰς πυρετὸν κυνός.

ΚΥΝΑ πυρέσσοντα οὕτως γνώσῃ· τὰ ὦτα κλίνει, συνάζει τὸ πρόσωπον, οὐ καθεύδει· ἀφαίρει οὖν αἷμα τῶν ὤτων· εἶτα ἐλαίῳ ῥοδίνῳ οὐγγ. β΄ μετὰ οἴνου ἀφεψήσας, ἔγχυμάτισον αὐτὸν τρίτον τῆς ἡμέρας, ἢ ῥόδινον μετὰ δύο ὠῶν μίξον, καὶ οὕτως ἔγχυμάτιζε.

Εἰς καυματισθέντα, ἢ κοπωθέντα.

ΚΥΩΝ ἐὰν καυματισθῇ, οὕτως θεραπεύσεις. λάπαθον τὴν βοτάνην τρίψας κα-

λῶς, καὶ λειώσας ὠὰ δύο, βούτυρον, καὶ οἶνον σικελικὸν, ξεςὸν α΄. μίξας μετὰ πεπέρεως κοινοῦ, δὸς αὐτῷ πίνειν· εἰ δὲ πάνυ καυματιζόμενος ἔλθῃ ἀπὸ τῆς θήρας, φοῦσκαν μετὰ γλίχωνος συμμίξας, ῥάνε εἰς τὸ στόμα αὐτοῦ· φοῦσκα δὲ ἐστιν, ὄξος καὶ ὕδωρ θερμὸν, καὶ ὠὰ δύο· ἐπίχεε δὲ μετὰ ἐλαίου ῥοδίνου.

### Εἰς κύνα λυττήσοντα πρόγνωσις.

ΚΥΝΑ λυττῶντα οὕτως γνώσῃ. πρῶτον μὲν ἵσταται ἀπομεμωραμένος, καὶ δοκιμάζει τοῦ δάκνειν τὸν ἄνθρωπον, καὶ δυσήκοός ἐστιν, ἕως ὡς μηδὲ γνῷ κἂν τοὺς ἰδίους δεσπότας· τοῦτο οὖν ὅταν γνῷς, δὸς αὐτῷ τοιοῦτον ποτόν· ῥόδου ἀγρίου τὰς ῥίζας, τρίψον καὶ λείωσον δεόντως, καὶ μίξον ὕδωρ πηγαῖον ὀλίγον, καὶ δι' ὀθονίου διηθήσας, τῷ κυνὶ δὸς πίνειν, καὶ γνώσῃ τὸν λυσσῶντα.

### Ἄλλο.

Ἐν τῷ κάτω μέρει τῆς γλώσσης αὐτοῦ, δεσμοῖς τισὶ κατέχεται· γίνεται δὲ εἶδος εἰς ἐκτύπωμα σκώληκος, ὅμοιον νεύρῳ λευκῷ, πρὶν οὖν αὐξήσῃ καὶ λάβῃ πάντα τὸν λαιμὸν τοῦ κυνὸς, ἀπό-

κοψον ἐκ τῆς γλώσσης αὐτοῦ, καὶ θεραπεύσεις *μόνον ἐπιτηδείως.

Προφυλακτικὸν, ἵνα μὴ λυσσήσῃ.

ΛΑβὼν ἀγελοσυκῆν, κόψον καὶ μετὰ ἀξουγγίου παλαιοῦ, δὸς φαγεῖν τῷ κυνί· ἢ κισσὸν ἕψησον, καὶ ὅταν εἰς τρία μέρη ἔλθῃ, δὸς αὐτῷ τρὶς φαγεῖν, ἐν ἡμέρᾳ ἡλίου.

Αλλο.

Ορνίθων ἀφόδευμα, καὶ ὄνου αἰδοῖον, μετὰ οἴνου εὐώδους δὸς φαγεῖν.

Ἄλλο.

Βοτάνην χελιδωνίαν μετὰ ἀξουγγίου κόψας, δὸς μετὰ ἄρτου φαγεῖν.

Εἰς δακρύοντα καὶ φλεγμαίνοντας τοὺς ὀφθαμούς.

ΠΡῶτον τοὺς ὀφθαλμοὺς αὐτοῦ καταύτλησον ὕδατι θερμῷ, καὶ οἴνῳ ἕψηθησον ῥόδα, οἰνάνθην, καὶ μύρου, φύλλου ἔπειτα ἔλαιον, καὶ λευκὸν ὠοῦ μίξας, ἐπίθες τοῖς ὀφθαλμοῖς· καὶ ἀποσύψει μὲν τὸ δάκρυον· τὴν δὲ φλεγμονὴν ἀποκρούσεται.

### Εἰς λεύκωμα ὀφθαλμοῦ παλαιόν.

ΕΑΝ λευκωθῇ ὁ ὀφθαλμὸς τοῦ κυνός, θεράπευε οὕτως· χολῆς ταυρείας γράμμ. ϛ΄. μαράθου χυλοῦ· μέλιτος οὐγγ. θ΄. κρόκου οὐγγ. γ΄. ὁμοῦ λειώσας, τὸν κύνα ἐπίχρισον.

### Εἰς πάθος ὀφθαλμῶν.

ΚΥΩΝ, ἐὰν σοῦ ὀφθαλμοὶ πάθῃ, ἀφόδευμα ὄρνιθος ἐπίθες μετὰ ὄξους.

### Εἰς ἥλους σοῦ ἐν οὐρανίσκῳ τοῦ κυνός.

ΕΑΝ ἐν τῷ οὐρανίσκῳ αὐτοῦ ἧλοι γένωνται· ἀμμωνιακοῦ τὸ ἔρκοιου· κικίδος σφαιρία τρία· ὄξους κέρ. α΄. χάρτον κεκαυμένον, λείωσον, πάντα σύμμιξον, εἶθ' οὕτως διάχριε τὸν οὐρανίσκον, καὶ θεραπεύσεις.

### Εἰς ὀστοῦν πηχθὲν ἐν τῷ στόματι αὐτοῦ.

ΚΥΩΝ ἐὰν ὀστέον ἔχῃ εἰς τὴν φάρυγγα πεπηγός, ἔλαιον ἔγχει εἰς αὐτόν, καὶ πλώσον ὑποκάτω. εἰ δὲ παρασαλεῦσαι μὴ δυνηθῇς, ἄνοιξον τὸ στόμα αὐτοῦ καὶ χλιαρὸν ὕδωρ κατάχεε ἐπὶ βραχύ.

### Εἰ βδέλας καταπίῃ κύων.

ΚΟρεις αὐτὸν ὑποκάπνισον, καὶ ἰᾶται παραχρῆμα.

### Ἄλλο.

Πίτυρον ἐκ κριθῆς, καὶ ἔλαιον καθαρὸν λίτρ. α΄. ἑψήσας καὶ διηθήσας, καὶ μέλιτι καθαρῷ γράμμ. α΄. συμμίξας ἀπὸ τούτων τὸν κύνα ἐγχυμάτιζε.

### Ἄλλο.

Ἑψήματος καὶ τραγακάνθης ἀποβεβρεγμένης, καὶ πτισάνης χυλοῦ, καὶ ἐλαίου, καὶ μέλιτος, ὁμοῦ μίξας καὶ κρόκον ᾠοῦ· ἐγχυμάτιζε τὸν κύνα.

### Εἰς κύνα ἀνορεκτοῦντα.

ΕΑΝ ἀνορεκτῇ κύων, κόπρον ἀνθρωπίαν δίδου φαγεῖν αὐτῷ, καὶ φοῦσκαν μετὰ γλίχωνος συμμίξας τὰς ῥῖνας αὐτοῦ ἀπάντλησον, καὶ τὸ στόμα, καὶ τὴν ζωφίω μεμιγμένην μετὰ κυμίνου· γαρὸν δὲ ἔμπροσθεν αὐτοῦ ἑψήσας· τέρπεται γὰρ τῇ ὀσμῇ αὐτοῦ, δὸς αὐτῷ φαγεῖν ἀπὸ παντὸς σίτου, ἕως ἂν αὐτὸν ἐμπλήσῃς.

## Εἰς μάλιν κυνός.

ΕΑΝ κύων ὑπὸ μάλεως κατέχηται, θνησιμαίου ζώου, ἵππου, ἢ τινὸς ἑτέρου, τὴν καλουμένην χελιδονέαν λαβὼν, καὶ λειοτριβήσας μετὰ γάλακτος αἰγείου, δὸς αὐτῷ πίνειν, καὶ περιγενήσεται τοῦ νοσήματος.

## Εἰς φλεγμονὴν γαστρὸς, ἢ ἐμπνευμάτωσιν.

ΒΡΑΧΥ ὄξος ἐπίδος αὐτῷ, καὶ παραχρῆμα παύσεις ὀδύνην.

## Εἰς κύνα οὐροῦντα αἷμα.

ΕΑΝ κύων αἷμα οὐρήσῃ, λίτρας τρεῖς φακῆς * ὑμένα περιφότην μετὰ γάλακτος ἀφέσον, καὶ κοριάνου τὸν χυλόν· καὶ πεπέρεως κόκκοις κέ. καὶ ἐλαίου κοινοῦ ξεστίον ἕν, ἢ ἄλλως περιφότην ὑμένα φακῆς κατὰ γάλακτος ἀφέψησον, καὶ ἔλαιον οὐγγ. β΄. ἢ εἰς ἓν συμμίξας, τὸν κύνα ἐγχυμάτιζε.

## Εἰς δυσουρίαν.

ΑΡΤΟΝ μετὰ γάλακτος αἰγείου βεβρεγμένον δὶς τῆς ἡμέρας δὸς φαγεῖν.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

## Εἰς ῥαγεῖσαν φλέβα.

ΕΑΝ κυνὸς φλὲψ ῥαγῇ, ἀράχνην, γναφάλαν, μετὰ δύο μυῶν καύσας, καὶ λειώσας, ἀπὸ τούτων ἐπίθες τῷ κυνὶ, καὶ πάλιν δὲ γναφάλας κεκαυμένης τὸν σποδὸν κατ' ἰδίαν ἐπίθες τῇ φλεβὶ, καὶ σίδηρον θερμαίνας, εἰς τὸν τόπον κατάδησον ὅθεν ῥέει τὸ αἷμα, καὶ παύσεις.

## Εαὶ τὰ ἰσχία ὀδυνᾶται.

ΛΙΘΟΝ μυελίτην, ἐν ὀστράκῳ πυρώσας, καὶ καύσας ἀναλαβοῦ, καὶ οὖρον ἀνθρώπου ἐπίχεε κατ' αὐτὸν, καὶ προσήκαλε πάλιν, καὶ μετὰ τὸ καῦσαι διαπῶς, οἶνον καὶ ὄξος μίξας, μετὰ πτεροῦ ἄλειφε, καὶ λαβὼν * κράτησον, καὶ ἀφόδευμα ὄρνιθος μετὰ φούσκας δίδου.

## Εἰς τὸν πονοῦντα τὸν δάκτυλον ἤτοι τὴν ἕδραν.

ΚΥΩΝ ἐαὶ τὸν δάκτυλον βλάβῃ, σκέπασον αὐτὸν, καὶ σκορόδου σκελίδια δύο, ἀποστάσας δεόντως καὶ λειώσας, εἰς ἓν μίξον μετὰ ἐλαίου, καὶ ἐν τῷ δακτύλῳ αὐτοῦ λείωσον, καὶ ποίησον αὐτῷ ἐγχυματισμὸν τοιοῦτον· πεπέρεως

κόκκοις κʹ. δαφνίνων κόκκοις γʹ. βουτύρου κέρ. αʹ. ὁμοῦ μίξας καὶ πυρώσας σίδηρον μετ' αὐτοῦ θέρμανον τὰ προλεχθέντα εἴδη, καὶ οὕτως τὸν κύνα ἐγχυμάτιζε.

## Εἰς πτωχαίνοντα εἰ παχῦναι θέλῃς.

ΤΗ πρώτῃ ἡμέρᾳ, ἄρτον αὐτῷ μετὰ γάλακτος δίδου, ὅσον ἐσθίειν εἴωθεν· ἔπειτα ταῖς ἄλλαις ἡμέραις, ὕφελε μὲν τοῦ ἄρτου κατὰ μέρος, πλεόναζε δὲ τὸ γάλα· μετὰ δὲ ἓξ ἡμέρας, δίδου αὐτῷ γάλα μόνον, καὶ ἐν τῷ δείπνῳ, δίδου ὀλίγον· καὶ πάλιν ἐὰν θέλῃς αὐτὸν τοῦ γάλακτος ἀποστῆναι, κατὰ μέρος ὑφαίρει τοῦ γάλακτος, καὶ προστίθει ἄρτον· ταύτας δὲ τὰς ἡμέρας οὐ χρὴ τὸ σύνολον λυθῆναι αὐτὸν ἐκ τοῦ δεσμοῦ ἐν αἷς γαλακτίζεται· μετὰ δὲ τὸ ἐπαρθῆναι αὐτὸν ἐκ τοῦ γάλακτος, καθημέραν εἰς τὴν γυμνάσιον ἄπαγε.

## Ἄλλο.

ΚΥΝΑ ἐὰν θρέψαι θέλῃς, βρῶμον φρέξας, μετὰ ταῦτα, ἀπάγων εἰς μύλωνα ἄλεθε· καὶ ὁπηνίκα βούλει θρέψαι αὐτὸν, βάλε ἐν τῇ κακκάβῃ ὕδωρ, καὶ ὅτε ζέσῃ, ἐπίβαλε

ἄλευρον ἀρκοῦντα ἐκ τῆς βρεφόμου ὅσον δύνασαι κορέσαι τὸν κύνα· καὶ στέαρ δὲ μετ᾽ αὐτοῦ μίξον, καὶ μετὰ τὸ ψυχρανθῆναι, ἄφες φαγεῖν· τοῦτο δὲ ποίει, ἕως ἡμέρας ε´, ἢ ἕξ· καὶ γνώσῃ ὅπως τραφήσεται.

### Κύνα μετὰ λιμὸν εἰ κορέσαι θέλῃς.

ΦΆβατος λευκοῦ τὴν α´. ἐλαίου ξέστην α´. ἀξούγγιν ἁλιστὸν τὸ ἴσον, καὶ ἐπὶ τρισὶν ἡμέραις, νῆστει τῷ κυνὶ δίδου καθ᾽ ὥραν καθ᾽ ἣν εἴθισται αὐτῷ ἐσθίειν. Κύνας μικροὺς εἰ βούλῃ θρέψαι, εἰ γάλα μὴ ἔχῃς, πνεύμονα βοὸς καῦσον, καὶ τοῦτον τέφραν ποίει, καὶ ἐπίπασσε τὴν βρεφῶσι αὐτῆς.

### Κύων ἐὰν φλεγμονὴν ἔχῃ καθόλου τοῦ σώματος.

ΕΑΝ φλεγμονὴν ἔχῃ εἰς τοὺς ὀφθαλμοὺς, ἢ εἰς τοὺς πόδας, καὶ μάλιστα ἐὰν λάβῃ, μὴ νομίσῃς τοῦτο, ἕλκος εἶναι· θεραπεύσεις δὲ οὕτως· κήρου μέρος ἕν· μέλιτος ἀττικοῦ μέρη δύο, ἐλαίου κοινοῦ μέρος ἕν· εἰς ἓν ταῦτα πάντα συμμίξας, ἀφέψησον, καὶ ἀπόχεε τὸν κύνα

ἐπὶ ἡμέρας ὀκτώ, καὶ δὸς αὐτῷ ὑγρὰν ζαφλιὼ καθάπερ χυλόν.

### Κύων εἰ παρ᾽ ἑτέρου κυνὸς δηχθῇ.

ΟΣΤΟΥΝ ἐλάφου καῦσον, καὶ μίξον μετὰ ἐλαίου, καὶ λείωσον ὁμοῦ, καὶ ὡς κηρωτὸν ποιήσας, θεραπεύσεις τοῦτον.

### Κύων ἢ δηχθῇ ἢ πληγῇ ὑπό τινος.

ΚΡΕΑΣ μετὰ σποδοῦ τοῦ σιδήρου τῇ πληγῇ ἐπίθες, καὶ θεραπεύσεις.

### Κύων εἰ παρὰ λυττῶντος κυνὸς δηχθῇ.

ΦΥΛΛΑ πηγάνου ἐπίθες τῷ τόπῳ μετὰ πίσσης καὶ ὄξους· καὶ ἰαθήσεται.

### Ἐὰν μύωψ δηχθῇ κύνα.

ΚΑΥΣΟΝ ἀγριοπήγανον, καὶ ὑποκάπνιζε αὐτὸν τὸν τόπον, ὅπου δηχθῇ, καὶ χρίε μετὰ ὄξους.

### Εἰς τὸ θεραπευθῆναι οὐλήν.

ΛΙθόστερον μετὰ ἀφροῦ ἀγρίου καύσας, τρίψον, καὶ μέλι, καὶ ὄξος, ὁμοῦ σὺν αὐτοῖς μίξας,

μίξας, τὴν αὐτὴν ἀναλείφων τρίβε ἕως οὗ θεραπεύσῃς.

Ἐὰν πληγῇ, καὶ μὴ γνῷς ὅτι ὀδυνᾶται.

ΠΡΟΣ ἥλιον αὐτὸν στῆσον, καὶ ἔνθα ὀδυνᾶται, ἐκεῖ αἱ μυῖαι χωροῦσι, οὕτως τὴν ὀδύνην εὑρήσεις· αὐτὸν δὲ τὸν τόπον θερμῷ ὕδατι κατακλύσεις, καὶ κριθάλευρον θερμαίνας, καὶ ἀφόδευμα βόειον, καὶ φοῦσκαν μίξας, οὕτως τῷ τόπῳ ἐπίπασε.

Εἰς ψώραν.

ΨΙμίθιν καὶ ῥιτίνην, καὶ στέαρ βόειον, καὶ βούτυρον οἴνῳ μίξας, ἕψησον, καὶ οὕτως τὸν κύνα κατάχριε.

Ἄλλο.

Λαβὼν στέαρ κύνειον, ἢ ἐχίνου, βάλε αὐτὸ ἐν χύτρᾳ καινῇ, καὶ ἀνάλυσον· καὶ ὅταν ἴδῃς ἐκπέμπον πομφόλυγας μικροὺς, ἀφελὼν ἀπὸ τοῦ πυρὸς μικρὸν τὴν χύτραν, βάλε ῥιτίνην καθαρὰν τετριμμένην εὐφυῶς, καὶ κατὰ μικρὸν κινῶν, ἵνα μὴ ἀναζέσας τὸ στέαρ, ἐκχυθῇ. ἡ δὲ ῥιτίνη ἔστω ἴση τῷ στέατι· εἶθ' οὕτως λαβὼν βοτάνην τὴν λεγομένην κυνοχέστην χλωρὰν, ἧς τὸ ἄνθος ἐστὶ πορφυροῦν, καὶ βαλὼν αὐτὴν ἐν ἰγδίῳ, τρῖψον λίαν,



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

καὶ ἐκπάσας τὸν ζωμὸν, βάλε ἐν τῇ χύτρᾳ ἐπὶ ζεούσῃ, καὶ ἀναμίξας, ἄλειφε τὸν κύνα.

## Εἰς ἄφθας.

Κριθάλευρον λείωσον μετὰ ὄξοις, καὶ ἔγχρισον τὸν κύνα, καὶ ὕστερον καθαρῶς ἀπόπλυνε. βέλτιον δὲ, εἰ μετ' ἐλαίου ἀλείψας.

## Εἰς ἐξονυχισθέντα.

Λαβὼν κύμινον εἰς τὸ στόμα σου, καὶ μασσησάμενος, τὸν σίελον βάλε εἰς τὸν ὄνυχα αὐτοῦ· τοῦτο δὲ ποιήσεις ἐπὶ δέκα ἡμέρας, καὶ ἀναβήσεται ὁ ὄνυξ.

## Εἰς ἐκτρίψαντα κοτύλην.

Κριθάλευρον ἢ κεχρήμιθα εἰς ἄργυρον μετὰ φλόμου καὶ ἐλαίου συμμίξας· ἄλειψον αὐτό.

## Ἄλλο.

Λαβὼν κορλάνου κόκκους, κρόκον ᾠοῦ ὄρνιθος θηλείας, στέαρ τὸ ἄρκου, καὶ ἀμφότερα τρίψας καὶ ἑνώσας, μετὰ ἐρίου ἐπίθη, καὶ ἐπάλειφε πάλιν ἐπάνω αὐξούσιν.

Εἰς τὸν ἕλκοντα κόξαν κύνα.

Κλάδοις τοῦ οὐδήποτε δένδρου ἕψει, ἐπαύτλει τὸν κύνα· μετὰ δὲ τὴν ἐπαύτλησιν μίξας ἔλαιον παλαιὸν μετὰ ἀξουγγίου, τοῖς ὀδυνωμένοις τόποις κατάχριε.

Κύων ἵνα ἀλλάξῃ τὴν τρίχα.

Ἄσβεστον καὶ ἀφρὸν ἀργύρου σύμμιξον, καὶ ὅτε γένηται καθάπερ μέλι, ἐπὶ μῆνα ὅλον ἄλειφε αὐτόν, καὶ τὴν τρίχα ἀλλάξει.

Εἰς τὸ ποιῆσαι ταχέως τρίχας τὸν κύνα.

Βοτάνην γεντὸν καῦσον, καὶ μετὰ ἀξουγγίου ἄρκου μίξας, τὸν τόπον κατάχριε.

Κύνα λευκὸν ποιῆσαι μέλανα.

Μελαντοτόμον, καὶ τὸν χυλὸν τῆς κόπρου τοῦ ὄνου, καὶ αἰγὸς στέαρ, ἀφέψησον ὁμοῦ, καὶ μετὰ τούτων, τὸν κύνα τὸν λευκὸν χρίε ἐπιμελῶς μέχρι ι' ἡμέρας· καὶ ὄψει ὅτι ἀλλάσσει τὴν τρίχα.

## Μὴ φυγεῖν κύνα ὁπῶς δήποτε.

ΤΗΝ οὐρὰν αὐτοῦ μέτρησον καλάμῳ, καὶ κατὰ τὸ μέγεθος τῆς οὐρᾶς τὸν κάλαμον κόψον. ἐναπόθου, καὶ στέγῃ ὑπόθες, καὶ οὐδέποτε ὁ κύων τῆς στέγης τῆς σῆς ὑποχωρήσει· ἢ ἐν τῇ χειρί σου τὴν οὐρὰν λαβών, τὰς τρίχας ἀπόσπασον, καὶ τὰς ἀποπιπτούσας εἰς τὸν κάλαμον βάλε, καὶ οὐδέποτε ἀποφύγῃ.

## Κύνα εἰ θέλῃς πρὸς μίαν ὥραν μὴ δραμεῖν.

ΕΛαιον λαβὼν ἐν τῇ χειρί σου, τὰς μασχάλας αὐτοῦ ἄλειψον, καὶ τὸ σκύλον οὐ δραμεῖται ἐν αὐτῇ τῇ ἡμέρᾳ· τοῦτο ποίησον ὅταν ἀγοράσῃς κύνα ἀπό τινος.

## Ἐὰν θέλῃς ἐνζῶσαι.

ΚΟλλούρια ἀπὸ ἀσσδοῦ ποιήσας, εἰς τὸ αἰδοῖον αὐτοῦ ἐπίθες, καὶ ὕδωρ καὶ ἕψημα καὶ γῆν λειώσας, καὶ συμμίξας, ἀπὸ τούτου τὸν κύνα ἐγχυμάτιζε.

## Εἰς κύνα ἐπιγόμενον εἰς τοκετὸν ἐνζῶσαι θέλῃς.

ΣΠέρμα ἴων ἀφέψησον, καὶ ἀπὸ τοῦ ὕδατος, ἔνθα ἀφέψηται ἄρον, καὶ τῷ κυνὶ δὸς πίνειν, καὶ μὴ ἐντρώσει.

Εἰ κύνα ἀπὸ τοκετοῦ ἐκκαθᾶραι θέλῃς.

ΠΡΑΣΑ μετὰ γλίχωνος ἀφεψήσας, τῷ ζωμῷ ἐγχυμάτιζε τὸν κύνα.

Εἰ κύνα θέλῃς συλλαβεῖν.

ΖΥμης μέρος νῆστι φαγεῖν ἐπίδος αὐτῷ.

Ἄλλο.

Εἰς τὸ αἰδοῖον αὐτῆς ἅλας κόκκοις τρίψας πέμψον.

Ἐὰν θέλῃς μετὰ τὴν σύλληψιν θερμασίαν παῦσαι.

ΚΟνύζην ψιλὴν ἐπίδος αὐτῷ νῆστι· εἰ δὲ μὴ θέλῃ, καὶ ἄκουσαν αὐτὴν πρόσφερε.

Κύνα ὀχεύσαντα ἐὰν θέλῃς ἀνακτήσασθαι.

ΛΑβὼν ἀρκεύθου σφαίρας δύο, πηγάνου φύλλου, πεπέρεως κόκκοις ιέ. κρόκον βραχύ· λειώσας καὶ ἑνώσας, καὶ μικρὸν ἄκρατον ἐπιχέας, μετὰ ὕδατος θερμοῦ δὸς φαγεῖν.

Ἐὰν βασκανθῇ.

ΦΟύσκαν μετὰ γλίχωνος συμμίξας ἐπὶ ταῖς ῥισὶ προσάντλει, καὶ τρίχας ἱππείας, ἐκ τῶν ὀπισθίων ποδῶν καύσας ἄτμισον αὐτὸν ἐν τούτοις, μετὰ σαγίου σκεπάσας, ἔχε ἕως οὗ ἱδρώσῃ.

Εἰς λυττήσαντα αὖθις.

ΚΥΩΝ ἐὰν λυττήσῃ, μετὰ ἐπιτηδειότητος αὐτῷ ἔκβαλε· κεῖται γὰρ ὑποκάτω τῆς γλώττης.

Εἰς ψώραν αὖθις.

ΟΞείδιν μετὰ σαρκοφάγου καὶ βουτύρου βρέξας, ἄλειψον τὸν κύνα, καὶ ὑγιαίνει.

